A ἴαμβος τρίμετρος ἀκατάληκτος. ὑφ᾽ ὃν παράγραφος. Καὶ φρυγίλῳ σαβαζίῳ] παίζει πρὸς τὸ ὄνομα ἐπεὶ οἱ Φρύγες τὸν Σαβάζιον τιμῶσι. τίς δέ ἐστιν οὗτος ὁ θεὸς ὁ Ἡρακλεώτης περὶ Ἡρακλείας ἐν τῷ ιβ φησί. φαίνεται γὰρ ἐξ ὧν εὑρίσκομεν συλλογιζόμενος πολλαχόθεν ὅτι Διόνυσος καὶ Σαβάζιος εἷς ἐστι θεός. τυχεῖν δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν, οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες, τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. εἰς τὸ αὐτό. παίζει πρὸς τὸ ὄνομα. ἐπεὶ Φρύγες τὸ εὐάζειν σαβάζειν φασίν. ἐκ τούτου Σαβάζιον τὸν Διόνυσον. σάβους δὲ ἔλεγον, καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους. καὶ τοὺς βάκχους τοῦ θεοῦ. ὁ αὐτὸς δὲ Ὕας καὶ Εὔϊμος καλεῖται. ἔστι δὲ καὶ εἶδος ὀρνέου, ὃ καλεῖται φρυγίλος. παρὰ τοῦτο οὖν ἔπαιξε τὸν Διόνυσον ὀρνίθειον φάσκων τιμᾶσθαι. ἄλλως. ἐπεὶ Φρυγῶν ὁ θεός. καὶ ἐν ὥραις. τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον. Καὶ στρουθῷ μεγάλῃ.] ὅτι τὸ ἐπὶ τῆς στρουθοκαμήλου τὸ μεγάλη προσετίθεσαν. ἔπαιξε δὲ διὰ τὸ μέγεθος τῇ Ῥέᾳ ταύτην προσεικάσας. Κυβέλη.] Κυβέλην φασὶ τὴν Ῥέαν, παρὰ τὰ Κύβελα ὄρη. ὀρεία γὰρ ἡ θεός. διὸ καὶ ἐποχεῖται λεόντων ζεύγει. τὸ δὲ μῆτερ Κλεοκρίτου, παρ᾽ ὑπόνοιαν ἐπήγαγεν, βουλόμενος αὐτὸν διαβάλλειν ὡς στρουθόποδα, τουτέστι μεγαλόπουν. ἐκωμῳδεῖτο δὲ ὡς ξένος, καὶ τάχα ὑποκριτής. νῦν δὲ ἐμφαίνεται, ὅτι καὶ τὴν ὄψιν στρουθώδης. ὁ δὲ Δίδυμος μητέρα Κλεοκρίτου, ὅτι ὡς γυναικίας καὶ κίναιδος κωμῳδεῖται. ἐν δὲ τοῖς μυστηρίοις τῆς Ῥέας μαλακοὶ πάρεισι. καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ᾽ Εὐπόλιδος ἐν δήμοις καὶ κόλαξι. Στρουθὲ μῆτερ] Ἡρωδιανὸς ἐν τῷ, βάσκ᾽ ἴθι ἶρι ταχεῖα τὸν δ᾽ Ἕκτορι μῦθον ἔνισπε, ἐπιμερισμῷ φησι τὸν Χάρακα λέγειν βαρυτόνως Ἀττικὴ στροῦθος, ὁμοίως καὶ ἐν τῷ ἑκκαιδεκάτῳ τῆς καθόλου λέγων καὶ τρυγόνα μεμνῆσθαι ἐν δευτέρῳ περὶ Ἀττικῆς προσῳδίας. B Χίοισιν ἥθην] καὶ τοῦτο ἀφ᾽ ἱστορίας εἴληφεν. ηὔχοντο γὰρ Ἀθηναῖοι κοινῇ ἐπὶ τῶν θυσιῶν ἑαυτοῖς τε καὶ Χίοισι καθάπερ Θεόπομπος ἐν τῷ δυοδεκάτῳ τῶν Φιλιππικῶν φησιν οὕτως. οἱ δὲ πολλοὶ τοῦ ταῦτα πράττειν ἀπεῖχον. ὥς τε τὰς εὐχὰς καὶ περὶ ἐκείνων καὶ σφῶν αὐτῶν ποιοῦντο. καὶ σπένδοντες ἐπὶ ταῖς θυσίαις ταῖς δημοτελέσιν ηὔχοντο τοῖς θεοῖς Χίοις διδόναι τἀγαθὰ καὶ σφίσιν αὐτοῖς. λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν πόλεσιν. αὕτη Χῖος. καλὴ πόλις. πέμπει γὰρ ὑμῖν. ναῦς μακράς. ἄνδρας τε ὅταν δεήσῃ. καὶ τἄλλα πειθαρχεῖ καλῶς. ἄπληκτος ὥσπερ ἵππος. C τὰ αὐτὰ τοῖς Θεοπόμπου καὶ Θρασύμαχός φησιν, ἐν τῇ μεγάλῃ τέχνῃ. ὁ δὲ Ὑπερείδης, ἐν τῷ χαλκῷ. καὶ ὅτι Χῖοι ηὔχοντο Ἀθηναίοις, δεδήλωκεν.

### ΣΤΡΟΦΗ κώλων η΄.

Ἱερ. ΚΑὶ ἥρωσι καὶ ὄρνισι καὶ ἡρώων παισὶν D
Καὶ Πορφυρίωνι. καὶ πελεκᾶντι.
Καὶ πελεκίνῳ. καὶ φλέξιδι.
Καὶ τέτρακι. καὶ ταῶνι.
Καὶ ἐλεᾷ. καὶ βάσκᾳ.
Καὶ ἐλασᾷ. καὶ ἐρῳδιῷ.
Καὶ καταρράκτῃ καὶ μελαγκορύφῳ;
Καὶ αἰγιθάλλῳ.

### VERSIO MEMBRORUM octo.

SAC. *ET heroibus & auibus, & heroum filijs,*
*Et porphyrioni & pelecanti,*
*Et pelecinio & phlexidi,*
*Et tetraci & pauoni,*
*Et eleæ & bascæ,*
*Et elasæ & erodio,*
*Et cataractæ & melanchorypho,*
*Et ægithallo.*

E Σχόλια. Καὶ ἥρωσι καὶ ὄρνισι.] ἡ τετάρτη περίοδος, κώλων καὶ στίχων ὀκτώ. ὁ πρῶτος ἀντισπαστικὸς τετράμετρος βραχυκατάληκτος. ὁ δεύτερος ἰωνικὸς ἀπὸ μείζονος τρίμετρος καταληκτικός. τὸ γ ὅμοιον δίμετρον ὑπερκατάληκτον ἐκ παίωνος. τὸ δ ὅμοιον δίμετρον ἀκατάληκτον. τὸ πέμπτον χοριαμβικὸν δίμετρον καταληκτικόν. εἰ δὲ βούλει δακτυλικὸν τρίμετρον. τὸ ἕκτον ὅμοιον δακτυλικὸν ἑφθημιμερές. τὸ ἕβδομον χοριαμβικὸν τρίμετρον καταληκτικόν. τὸ ὄγδοον, ἰαμβικὸν πενθημιμερές. ὑφ᾽ ὃ παράγραφος. Καὶ πελεκᾶντι.] μήποτε πελέκας προσενεκτέον ὡς ἀλίβας. ὁ δὲ πελεκῖνος τῷ πελεκᾶντι προσέρριπται. πελεκᾶν μὲν τοῦ πελεκᾶνος κοινῶς. πελεκᾶς δὲ πελεκᾶντος, Ἀττικῶς. πελεκᾶς πελεκᾶ δωρικῶς. Καὶ φλέξιδι] ἐπισκεπτέον περὶ τούτων ἐκ τῆς τῶν ζώων ἱστορίας. τίς ὁ τέτραξ καὶ φλέξις, καὶ ἐλασᾶς. ἡ γὰρ βάσκα καὶ καταρράκται εἰσὶ παρὰ Καλλιμάχῳ ἀναγεγραμμέναι. καὶ ἀντὶ ἐρωδίου, ἐρώδιος. ὁ δὲ αἰγίθαλος, οὔτ᾽ ἐρισάλπιγξ. ἔστι δὲ ὑπὸ τὸν ἱέρακα. οὕτω δὲ ὠνομάσθη ὥς τινες, παρὰ τὸ ἐξ αἰγὸς τεθηλακέναι.

F

### ΣΤΡΟΦΗ στίχων ς΄.

Πι. ΠΑῦ᾽ ἐς κόρακας. παῦσαι καλῶν. ἰοὺ ἰού.
Ἐπὶ ποῖον ὦ κακόδαιμον ἱερεῖον καλεῖς
Ἁλιαέτους καὶ γῦπας; οὐχ ὁρᾷς ὅτι
Ἰκτῖνος εἷς αὐ τοῦτο οἴχοιθ᾽ ἁρπάσας;
Ἄπελθ᾽ ἀφ᾽ ἡμῶν καὶ σὺ καὶ τὰ στέμματα.
Ἐγὼ γὰρ αὐτὸς τουτοισὶ θύσω μόνος.

### VERSIO MEMBRORUM sex.

PI. *CEssa ad coruos, cessa vocans, heu, heu.*
*In quale ô infelix sacrificium vocas?*
G *Aquilas & vultures? non vides quòd*
*Miluius vnus hoc abiuit rapiens?*
*Abi à nobis & tu & coronæ,*
*Ego enim ipse hoc sacrificabo solus.*

Σχόλια. Παῦ᾽ ἐς κόρακας] ἡ ε΄ περίοδος ἐκ στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ς, ἐπὶ τῷ τέλει